# ΠΡΟΔΙΑΤΡΙΒΑΙ ΕΙΣΑΓΩΓΙΚΑΙ

εἰς ἅπασαν ἐν Γένει τὴν Φιλοσοφίαν.

## ΠΡΟΔΙΟΙΚΗΣΙΣ.

§. α΄.

Τὴν Λογικὴν, οἱ μὲν ὡς Τρόπον Ἐπιστήμης προληπτέαν εἶναι ἠξίωσαν, οὗ χωρὶς δηλονότι Ἐπιστήμην ὅλως καὶ ζητεῖν ἄτοπον, καὶ λαβεῖν ἀμήχανον. (1). Οἱ δὲ, ὡς θεραπείαν οἵαν τινὰ (2), ἧσπερ ἡ ψυχὴ μὴ πρότερον τυχεῖν φθάσασα, διὰ τὴν περιοῦσαν οἱ ἐκ φύσεως καχεξίαν, οὐδὲν ἂν ὑγιὲς τῇ Φιλοσοφίᾳ νυμφευθεῖσα προβάλοιτο ἀποκύημα. Καὶ συμφώνως ἄρα τῆς κατὰ τὴν Λογικὴν Ἕξιν ἐμπειρίας τὸ ἀναγκαῖον, καίτοι ὑπὸ διαφόροις τοῖς ὀνόμασι παραδηλοῦντες, οἱ πάντες ἔγνωσαν. Καὶ γὰρ καὶ οἱ τὴν Φυσικὴν τοῦ λόγου δύναμιν πρὸς Ἐπιστήμης ἀνάληψιν ἑαυτῇ ἀρκέσειν ὑπειληφότες, τὴν ὀρθῶς δήπου τὰς καθ᾽ ἑαυτὴν περαίνειν ἐνεργείας προσεθισθεῖσαν ἐνόησαν. Ἔστι δὲ οὐδὲν ἄλλο ἡ Ἕξις, ἢ τῶν ὀρθῶς τελεῖσθαι ἐκ πυκνῆς παρατηρήσεως σημειωθέντων ἐνεργημάτων προσεθισμός· Ἃ ἐν κεφαλαίοις, καὶ ὅροις τισὶν ἀναγόμενα, τῇ ψυχῇ μάλιστα δέον ἐναποκεῖσθαι τοῦ ἔχοντος, καὶ γραφῇ ἐκράτησε παραδίδοσθαι, λήθης μὲν ἄκος, μνήμης δ᾽ ἐπιβοήθημα.

§. β΄. Ἐπεὶ δὲ καὶ ἡ Λογικὴ αὐτὴ Ἐπιστήμη τις ἀναμφισβητήτως οὖσα (3), καὶ Φιλοσοφίας μέρος οὐ φαῦλον κρίνεται (4), ἐπέλθοι ἂν καὶ περὶ αὐτῆς ζητεῖν οὐκ ἀλόγως ἴσως, εἰ μὴ καὶ ταύτης εἰς πορισμὸν Λογική τις ἄλλη προαπαιτεῖται, καὶ τρόπος ἕτερος; Εἰ μὲν γὰρ, τίς ποτε ἄρα ἐκείνη ἔσται; καὶ τὸ εἰς ἄπειρον τῆς προόδου ἄφυκτον. Εἰ δὲ μὴ, ὁ τῆς Ἐπιστήμης τρόπος, καὶ ἡ θρυλλουμένη θεραπεία οὐκ ἀπαραίτητος.

(1) Ἀρισ. Μεταφ. Ἐλατ. Α΄. Κ. γ΄.

(2) Τσχιρνχαϋσήνιος ὁ Γερμανὸς, οὕτω τὴν κατ᾽ αὐτὸν Λογικὴν ἐπέγραψε, καί τινες ἄλλοι τῶν Νεωτέρων.

(3) Οὐκέτι γὰρ καθ᾽ ἡμᾶς, οὐδὲ θέμις περὶ τούτου ζητεῖν, τῶν πάντων ἤδη ὁμολογούντων.

(4) Διότι τινες οὐκ ἀμέσως τὴν Λογικὴν τῇ χειρὶ, καὶ μέρος τοῦ σώματος ἴσῃ, καὶ ὄργανον παρεικάζουσι.



Ἀλλ᾽ ἐπισταμένως διακρίνουσι τὸν τοῦ ἐπίστασθαι τρόπον, τῆς κατὰ τὴν ψυχὴν θεραπείας, σαφῶς διττή τις οἵαν ἀναφανήσεται καὶ ἡ Λογική. Ὧν ἑκατέρα μὲν πρὸ τῶν ἄλλων Ἐπιστημῶν προληπτέα, ἡ ἑτέρα δὲ, καὶ πρὸ τῆς ἑτέρας. Ὁ μὲν γὰρ τοῦ Ἐπίστασθαι τρόπος, ἡ τῶν ὀρθῶς περαινομένων ἐνεργειῶν τῆς Γνωστικῆς δυνάμεως ἐστὶν ἔκθεσις· ἡ δὲ τῆς ψυχῆς θεραπεία, ὁ τῶν ἐπισκηπτόντων παντοίων τῇ ψυχῇ παθημάτων ἰδιαίτερον ἂν εἴη ἔλεγχος, ὑφ᾽ ὧν ὁ Νοῦς σχετλίως ἐπισκοτεῖται, καὶ τοῦ ὀρθοῦ λόγου (κἂν ἄριστα ἄλλως διὰ τῶν Κανόνων πρὸς εὐθύτητα τύχοι μεμορφωμένος) παράγεται.

§. γ΄. Ἑκατέρας τοιγαροῦν πρὸς ἀνάληψιν οἱασοῦν Ἐπιστημονικῆς γνώσεως χρεία· Τῆς μὲν, κατὰ τὸ δέον ταῖς ἐννοίαις χρῆσθαι ἐκπαιδευούσης, τῆς δὲ, καὶ τὰ ἐμποδὼν ἰωμένης, καὶ οἷον ἀντιφράττοντα τῷ λογιστικῷ, ὡς μὴ καθαρῶς ἔχειν τ᾽ ἀληθὲς ἐλλαμφθῆναι, πόρρω ποιουμένης. Τούτων ἡ μὲν Λογικὴ εἰρήσθω Κανονικὴ, εἰ οὕτω δόξειεν. (1). Ἡ δὲ Προδιαθετική τις, ἢ Προφυλακτικὴ, καὶ Θεραπευτική.

§. δ΄. Ἡ μὲν οὖν Κανονικὴ, δῆλον ὅτι Κανονικῆς οὐ χρήζει ἄλλης προτέρας, ὡς οὐδὲ ὁ Κανὼν Κανόνος ἐπιδεὴς εἰς εὐθύτητα, οὐδὲ φωτὸς εἰς ὅρασιν τὸ φῶς. Ἐν γὰρ τῇ κατ᾽ αὐτὴν ἐκθέσει τῶν τοῦ νοεῖν τρόπων, ὁ Νοῦς ἐκείνοις ἅμα προχρήσεται. Ἡ δὲ Προδιαθετικὴ, καὶ πρὸ ἐκείνης ἂν εἴη ἐπωφελὴς οὐχ ὅπως, ἀλλὰ καὶ ἀναγκαία. Εἰ μὴ γὰρ εὐάγωγόν τε, καὶ εὖ διακειμένην πρὸς Διδασκαλίαν τὴν ψυχὴν παράσχοι, σχολῇ γ᾽ ἄν τις, καὶ τῶν ὑπ᾽ ἐκείνης διδασκομένων παραγγελμάτων ἀπόναιτο.

§. ε΄. Προκείσθω τοίνυν περὶ ταύτης πρῶτον βραχέα διελθεῖν· Ὅπως τε ἥκειν παρεσκευασμένον χρεὼν εἰς Φιλοσοφίαν τὸν Μαθητιῶντα· Ἅτε φεύγειν ὡς κῆρας τῆς εἰλικρινοῦς καὶ γνησίας γνώσεως, καὶ ἃ διώκειν τε καὶ τηρεῖν· Καὶ ὅπως τὰς μελέ-

(1) Οὕτω Κανονικὴ ἐπιγέγραπται, καὶ ἡ παρ᾽ Ἐπικούρῳ Διαλεκτική· Καὶ τὸ περιέχον τὰς ἐπὶ τὴν πραγματείαν ἐφόδους Βιβλίον, Κανών. Παρὰ Λαέρτ. Βιβλ. Ι΄.